Ισραηλ. [5]καὶ εἶπεν βασιλεὺς Συρίας πρὸς Ναιμαν Δεῦρο εἴσελθε, 5
καὶ ἐξαποστελῶ βιβλίον πρὸς βασιλέα Ισραηλ· καὶ ἐπορεύθη καὶ
ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ δέκα τάλαντα ἀργυρίου καὶ ἑξακισχιλίους
χρυσοῦς καὶ δέκα ἀλλασσομένας στολάς. [6]καὶ ἤνεγκεν τὸ βιβλίον 6
πρὸς τὸν βασιλέα Ισραηλ λέγων Καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον
τοῦτο πρὸς σέ, ἰδοὺ ἀπέστειλα πρὸς σὲ Ναιμαν τὸν δοῦλόν μου,
καὶ ἀποσυνάξεις αὐτὸν ἀπὸ τῆς λέπρας αὐτοῦ. [7]καὶ ἐγένετο ὡς 7
ἀνέγνω βασιλεὺς Ισραηλ τὸ βιβλίον, διέρρηξεν τὰ ἱμάτια αὐτοῦ καὶ
εἶπεν Μὴ θεὸς ἐγὼ τοῦ θανατῶσαι καὶ ζωοποιῆσαι, ὅτι οὗτος ἀπο-
στέλλει πρός με ἀποσυνάξαι ἄνδρα ἀπὸ τῆς λέπρας αὐτοῦ; ὅτι
πλὴν γνῶτε δὴ καὶ ἴδετε ὅτι προφασίζεται οὗτός με. [8]καὶ ἐγένετο 8
ὡς ἤκουσεν Ελισαιε ὅτι διέρρηξεν ὁ βασιλεὺς Ισραηλ τὰ ἱμάτια
ἑαυτοῦ, καὶ ἀπέστειλεν πρὸς τὸν βασιλέα Ισραηλ λέγων Ἵνα τί
διέρρηξας τὰ ἱμάτιά σου; ἐλθέτω δὴ πρός με Ναιμαν καὶ γνώτω
ὅτι ἔστιν προφήτης ἐν Ισραηλ. [9]καὶ ἦλθεν Ναιμαν ἐν ἵππῳ καὶ 9
ἅρματι καὶ ἔστη ἐπὶ θύρας οἴκου Ελισαιε. [10]καὶ ἀπέστειλεν Ελισαιε 10
ἄγγελον πρὸς αὐτὸν λέγων Πορευθεὶς λοῦσαι ἑπτάκις ἐν τῷ Ιορ-
δάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σού σοι, καὶ καθαρισθήσῃ. [11]καὶ ἐθυ- 11
μώθη Ναιμαν καὶ ἀπῆλθεν καὶ εἶπεν Ἰδοὺ δὴ ἔλεγον ὅτι ἐξελεύσε-
ται πρός με καὶ στήσεται καὶ ἐπικαλέσεται ἐν ὀνόματι θεοῦ αὐτοῦ
καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τόπον καὶ ἀποσυνάξει τὸ
λεπρόν· [12]οὐχὶ ἀγαθὸς Αβανα καὶ Φαρφαρ ποταμοὶ Δαμασκοῦ 12
ὑπὲρ Ιορδάνην καὶ πάντα τὰ ὕδατα Ισραηλ; οὐχὶ πορευθεὶς λού-
σομαι ἐν αὐτοῖς καὶ καθαρισθήσομαι; καὶ ἐξέκλινεν καὶ ἀπῆλθεν
ἐν θυμῷ. [13]καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ καὶ ἐλάλησαν πρὸς αὐτόν 13
Μέγαν λόγον ἐλάλησεν ὁ προφήτης πρὸς σέ, οὐχὶ ποιήσεις; καὶ
ὅτι εἶπεν πρὸς σέ Λοῦσαι καὶ καθαρίσθητι. [14]καὶ κατέβη Ναιμαν 14
καὶ ἐβαπτίσατο ἐν τῷ Ιορδάνῃ ἑπτάκι κατὰ τὸ ῥῆμα Ελισαιε, καὶ
ἐπέστρεψεν ἡ σὰρξ αὐτοῦ ὡς σὰρξ παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.
[15]καὶ ἐπέστρεψεν πρὸς Ελισαιε, αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐ- 15
τοῦ, καὶ ἦλθεν καὶ ἔστη καὶ εἶπεν Ἰδοὺ δὴ ἔγνωκα ὅτι οὐκ ἔστιν

5 βασιλευς] pr. ο *OL*: item in 7 | προς $1^0$] pr. πορευου A† || 6 απο] εκ A†: item in 7 || 7 μη] ο B*O*† | και $3^0$] η *O* | με ult.] μοι B, προς με *L*† || 8 ελισ.] + ※(ο) ανθρωπος του θεου *O*†, ο ανθρωπος του θεου *L*† || 9 θυρας οικου] της θ. του οι. A*L*† || 10 ελισ. αγγ. / προς αυτον] tr. *O*†, ελισ. προς αυτον αγγ. *L*† | καθαρισθητι *O* || 11 ιδου > *O*–Sy† | δη ελεγον οτι Sy $B^c$ pl.] ελεγον *L*†, ειπον B*†, > *O*–Sy† | εξελευσ. προς με] προς με παντως εξελ. B*O*(†) | και στησεται > B*L*† | θεου] pr. κυριου *OL* (A† κυριου pro θεου) | αποσυναξει] απο > A† || 12 αγαθος B*L*†] -θοι rel. | αβανα] ναεβ. A†, αρβ. $B^c$, αβρανα *L*† | φαρφαρ V pl.] αφαρφα B*†, φαρφα $B^c$, φαρφαρα A† | ιορδ. και Sy pl.] τον ιορδ. και υπερ *L*†, > B*O*–Sy† | ουχι $2^0$] ου A† | λουσομαι] πορευσ. A† || 13 μεγαν] pr. ※(και ειπαν) πατερ *O*†, pr. πατερ ει *L*† | και οτι] καθοτι *L*†, και > *O* pl. || 15 εστη] + ※εις προσωπον αυτου *O*†, + ενωπιον αυτου *L* pl. | και ειπεν > A† | δη > B†